φησί, καὶ ἀρραβωνήσομαι αὐτόν, ἐξελθοῦσα δὲ πρὸ τοῦ πυλῶνος. ἐβόα, ποῦ ἐστιν, ὁ νεώνητος ὁ ἐμοὶ ἀρρεαθής. Αἴσωπος ἔφη, ἰδοὺ ἐγώ. ἰδοῦσα δὲ αὐτὸν ἡ κόρη, ἔκθαμβος γενομένη, εἶπε, σὺ εἶ. ὁ δὲ, καὶ ἐγώ. ἡ δὲ φησί, ἀββάσκαντε, ποῦ σου ἡ κέρκος. ὁ δὲ, ἀνασυράμενος τὰ ἔμπροσθεν αὐτοῦ ἱμάτια, ἐπεδείκνυεν αὐτῇ, λέγων, αὕτη μοι ὄντως κέρκος ὑπάρχει. ἡ δὲ φησί, μὴ εἰσέλθῃς αἰφνιδίως καὶ φύγωσι πάντες. προλαβοῦσα δὲ ἐκείνη, ταῖς λοιπαῖς ἔφη, ἐξελθοῦσαι ὄψεσθε τηλικοῦτον κακόν, περὶ οὗ πᾶσαι διεμαχόμεθα. ἐξελθοῦσα δὲ ἄλλη, καὶ ἰδοῦσα αὐτόν, εἶπε, φεῦ, παταχθείη σου τὸ πρόσωπον, δεῦρο εἴσελθε, καὶ μή μοι κολλῶ. καὶ εἰσελθὼν, ἄντικρυς ἔστη τῆς κυρίας αὐτοῦ. θεασάμενος δὲ αὐτὸν ἐκείνη, ἀπεστράφη, καὶ φησὶ πρὸς τὸν ἄνδρα, πόθεν μοι τοῦτο τὸ τέρας ἤνεγκες. οὗτός ἐστιν ὃν ἐγκωμίαζες, ἐκβάλλε